ΠΛΑΤΩΝΟΣ, οἱ δὲ, ΑΝΤΙΠΑΤΡΟΥ.

Χρυσὸν ἀνὴρ, ὁ μὲν, εὗρεν, ὁ δ᾽ ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
Ῥῖψεν, ὁ δ᾽ οὐχ εὑρὼν, λυγρὸν ἔδησε βρόχον.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
Ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

Ἄδηλον.

Τέρπε δανειζόμενος τὴν σὴν φρένα. τοῖς δὲ δανεισταῖς
Κάλλιπε τὴν ψῆφον δάκτυλι καμψοδιώῳ.

---

ΕΙΣ ΦΙΛΙΑΝ, κεφ. πε.

Ἄδηλον.

Κισσῷ μὲν Διόνυσος ἀγάλλεται, αἰγίδι δὲ Ζεύς·
Οἱ ναέται, ξείνοις, ἡ δὲ πόλις ναέταις.

Ἄδηλον.

Θησαυρὸς μέγας ἐστ᾽ ἀγαθὸς φίλος, Ἡλιόδωρε,
Τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

Ἄδηλον.

Μή ποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Τίνας εἶποι λόγους Φιλήμων δι᾽ Εὐελπίδην.

Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
Αἴσθησιν εἶχον ἄνδρες, ὥς φασιν τινὲς,
Ἀπηγξάμην ἂν ὥστ᾽ ἰδεῖν Εὐελπίδην.

Ἄδηλον.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα·
Τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.

οὐδένα